Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Ab anno CCCXIV. ad annum CCCXLVI.

Parisiis, 1644

De sancto Spyridone. Capvt X.

urn:nbn:de:hbz:466:1-15072

Visual Library

Anno Christi 325.

χεσθαι. ἐν ᾧ τοσαύτη ἦν ἡ τοῦ θεοῦ χάρις, ὥστε σημεῖα αὐτὸν ποιεῖν μηδὲν ἐλάττω τῶν πάλαι ὑπὸ τῶν ἀποστόλων γεγενημένων. λόγῳ γὰρ μόνῳ τοὺς δαίμονας ἐφυγάδευε, καὶ εὐχῇ διαφόροις ἀσθενοῦντας ἐθεράπευε, τυφλοῖς τε τὸ βλέπειν, τὸν θεὸν ἐξαιτούμενος, παρείχετο· καὶ παρεθέντας πρὸς τὴν κατὰ φύσιν ἦγεν ἀκμὴν, τὰ μέλη ἐνεργεῖν ποιῶν ὑγιῶς. ὃν ὁ βασιλεὺς σφόδρα διὰ τιμῆς ἦγε, συνεχῶς τε ἐπὶ τὰ βασίλεια μετεπέμπετο, καὶ τὸν ἐξορυγμὸν κατεφίλει· τοσαύτη προσῆν τῷ εὐσεβεῖ βασιλεῖ πρὸς τοὺς ἁγίους πίστις.

Sed in hoc tanta Dei gratia elucebat, vt miracula per eum fierent non minora his, quæ olim ab apoſtolis facta ſunt. Nam dæmonas ſolo verbo fugabat, & ægros plures oratione curabat: ſed & cæcis viſum, fuſis ad Deum precibus, tribuebat: & paralyticis naturalem firmitatem reſtituebat, efficiens vt membra ſana ſuis fungerentur officiis. Hunc imperator ſummo in honore habuit, & ſæpius eum intra palatium euocatum complectebatur, & oculum effoſſum ſubinde exoſculabatur: tanta erat apud pium imperatorem ſanctorũ virorum auctoritas & gratia.

## Περὶ τοῦ ἁγίου Σπυρίδωνος.

### ΚΕΦΑΛ. ι'.

ΚΑΙ δὴ καὶ Σπυρίδων Κύπριός τις ἀνὴρ ἐπίσημος ἐν κυρίῳ, καὶ τὴν ἐκ παιδὸς ποιμενικὴν πεῖραν τῇ τοῦ Χριστοῦ ποίμνῃ καθιερωμένος, προφητικῷ βίῳ διαγινόμενος ἐγνωρίζετο. ὃς καί γε διέπων τὴν ἐπισκοπὴν, τοῦ ποιμαίνειν τὰ ἴδια πρόβατα οὐκ ἐπαύετο. οὕτω δὲ ἦν χρηστὸς καὶ ἀνεξίκακος, ὅτι λῃστῶν ἐφόδου δόλῳ προσβαλόντων τῇ ποίμνῃ, ἀοράτοις τε δεσμοῖς κρατουμένων, κινηθῆναί τε μὴ δυναμένων ἕως πρωῒ, ἐπιστὰς ὁ μακάριος, δι' εὐχῆς ἀνεθῆναι αὐτοὺς τῆς συνοχῆς ποιεῖ· οὐ μὴν ἀλλὰ καὶ τῶν κριῶν τὸν κράτιστον ἀποιχομένοις δίδωσιν, εἰπών· λάβετε ὦ νεανίσκοι πρὸς ἀπόχρησιν τοῦτον, μὴ ἄπρακτοι ἀπιόντες τὴν νύκτα ταύτῃ δι' ἐμὲ τὴν αἰτίαν τῆς ἀπορίας καταμέμψησθε. πολλὰ μὲν καὶ ἄλλα θαύματα περὶ τοῦ ἁγίου τούτου ἀκηκόαμεν, ἓν δὲ ἐκ πολλῶν παραθήσομεν.

## *De ſancto Spyridone.*

### Capvt X.

SPYRIDON etiam Cyprius vir inſignis in Domino, qui a pueritia paſtoralis vitę rudimenta Chriſti gregi deuouens, & propheticam vitam agens innotuit: quique epiſcopatum etiam adminiſtrans, non deſtitit oues ſuas paſcere. adeo bonus erat & patiens, vt cum latrones quidam noctu in ouile eius irrupiſſent, & occultis ac inuiſis quibuſdã vinculis detinerentur, nec inde mouere ſeſe vſque ad auroram poſſent; ſuperueniens beatus, obtinuit precibus vt ſoluerentur vinculis: imo vero arietem longe præſtantiſſimum abeuntibus dedit, inquiens: Accipite hunc iuuenes ad vſum veſtrum, ne re infecta diſcedentes, me hac nocte inopiæ veſtræ auctorem accuſetis. Plura etiam alia mirabilia de hoc ſancto audiuimus: vnum autem ex multis proponemus.